καὶ δύο παρὰ τῶν ἐν Κωνσταντινουπόλει προκριτοτέρων ἐμπόρων, οἱ τιμιώτατοι καὶ χρησιμώτατοι ὅ τε κὺρ Κωνσταντῖνος Μανδγατζόγλους καὶ ὁ...... Ἀντωνάκης Τζιρᾶς, ὅπως οὗτοι πάντες οἱ ἀνωτέρω διαληφθέντες ἐπίτροποι ὦσιδιὰ βίου, εἰ μή τις ἀνάγκη παρεμπεσοῦσα ἐμποδὼν τινι γίγνοιτο πρὸς τὴν μετὰ τῆς προσηκούσης ἐπιμελείας διεξαγωγὴν καὶ διοίκησιν.

Β'.) Ἔστω συνοδικὸν κατάστιχον ἁπάντων τῶν τῆς Σχολῆς χρημάτων, περιέχον ἀεὶ ὁπόσα καὶ παρὰ τίνος ἐδόθησαν. Τὰ δὲ τῆς Σχολῆς χρήματα διδόσθωσαν ἐπὶ τόκῳ μὴ μέντοι παρ' ἐμπόροις, ἢ ἄλλοις τισὶν, ἀλλὰ μόνον εἰς ἐπαρχίας ἀρχιερέων, καὶ δι' αὐλικῶν ὁμολογιῶν, αἵτινες μετὰ τοῦ ῥηθέντος συνοδικοῦ καταστίχου, καὶ ἄλλων ἐγγράφων . , . περικλειόμενα, ἐναποκεί(σθωσαν) κατὰ τὸ λιθόκτιστον οἴκημα τὸ ἐν τῇ περιοχῇ τῆς Σχολῆς· (ἐχέτω) δὲ καὶ τὸ κιβώτιον κλεῖδας δύο, ὧν περ ἡ μία φυλα(ττέσθω) παρὰ τοῦ ἐπὶ τῶν χρημάτων ἀρχιερέως ἐπιτρόπου, ἡ δ' ἄλλη παρ' ἑνὸς τῶν ἀρχόντων ἐπιτρόπων. Τοὺς λογισμοὺς τῆς ληψοδοσίας κατεχέτω ἐπὶ ῥητῇ τῇ συντάξει εἷς τῶν προηγμένων, καὶ πεῖραν ἐχόντων, μαθητῶν, ὅν περ ἂν ἐγκρίνωσιν οἱ ἐπὶ τῶν χρημάτων καὶ λεγέσθω οὗτος, ὅστις ποτ' ἂν εἴη, γραμματικὸς τῆς Σχολῆς, ἐπὶ μισθῷ τῷ προσήκοντι. Οἱ δὲ ἐπὶ τῶν χρημάτων παραλαμβανέτωσαν μὲν καὶ τὰς προσόδους, ποιήσθωσαν δὲ καὶ τὰς περὶ τὴν Σχολὴν δαπάνας τάς τε ἄλλας, καὶ τὰς πρὸς τροφὴν διδασκάλων καὶ μαθητῶν. Καὶ τὰ μὲν ἐν ἔθει καὶ ὡρισμένα δαπανήματα καθ' ἑαυτοὺς ποιήσονται, τὰ δὲ ὡρισμένα, μηδὲ κοινῇ δεδεγμένα μηδόλως ἐξέστω αὐτοῖς ποιεῖσθαι ἀφ' ἑαυτῶν, πρὶν ἂν ἀνακοινωσάμενοι . . ., προσλάβωνται τοὺς ἀεὶ ἐφόρους καὶ ἐν ἀρχῇ ἑκάστου ἔτους ἀπολογισμὸν διδότωσαν ἐπὶ . . . . . καὶ καθαρῶν καταστίχων